# Week 3 Gager # 1, 44, 83, 99, 117, PGM V 304-69, VII 396-404, VII 423-28, VII 429-58, X 36-50

## Gager #1

IG III App. 34
Att. 3rd/4th BCE

*το[ὺ]ς παρὰ Θε[α]γένει πάντας [δι]-*
*δασκάλους καὶ ὑ̣ποδιδα(σκάλους)*
*καὶ διδασκάλο(υς)*
*καὶ ὑποδιδασκ(άλους).*

## Gager #44

Audollent, Defix. Tab. 49 Att. — Athens — ca. 300 BC

*καταδῶ Θεαγένην*
*γλ<ῶ>τταγ καὶ ψυχὴν καὶ λόγον ὃμ*
*μελετᾶι· καταδ[ῶ] δὲ καὶ Πυρρίου <μαγείρου> χεῖρας*
*<[κ]αὶ πόδας> [γλ]ῶτταγ καὶ ψυχὴν καὶ λόγον ὃμ με-*
*λετᾶι ∶ καταδῶ δὲ καὶ [Πυ]ρρίου γυναῖκα ∶ γλῶτταν*
*καὶ ψυχήν ⁝ καταδῶ δὲ καὶ Κερκίωνα τὸμ μ[ά]γει-*
*ρον καὶ Δόκιμον μάγειρον γλῶτταγ καὶ ψυ-*
*χὴν καὶ λόγον ὃμ μελετῶσιν· καταδῶ δὲ καὶ*
*Κινέαν γλῶτταγ καὶ ψυχὴν καὶ λόγον ὃν συμ-*
*μελεταῖ Θεα[γ]ένε[ι· κα]ταδῶ δὲ καὶ Φερεκλέους*
*[γ]λῶτταγ καὶ ψυχὴν [καὶ μ]αρτυρίαν ἣ(ν) Θεαγέ[νε]ι*
*μαρτυρεῖ ⁝ καταδῶ δὲ [καὶ Σ]εύθου γλῶτταγ καὶ ψυ-*
*χὴν καὶ λόγον ὃμ με[λ]ετᾶι καὶ πόδας καὶ χεῖρας*
*ὀφ[θ]αλμοὺς [καὶ στόμ]α ⁝ καταδῶ [δὲ] καὶ Λαμπρίου*
*[γλῶττ]αγ καὶ ψυχὴν καὶ λόγομ ὃ(μ) μελ[ε]τᾶι χεῖρας*
*πόδας ὀφθαλμοὺς καὶ στόμα ⁝ τούτους ἅπαντας*
*καταδῶ ἀφα[ν]ίζω κατ[ο]ρύττω καταπαττα-*
*λεύω· καὶ ἐπ[ὶ δ]ικαστη[ρί]ου καὶ παρὰ*
*διαιτητεῖ [ἐὰν] ἀντιποιῶσ[ι] μηθα-*
*[μ]οῦ {μηδαμοῦ} φαίνεσθαι μήτ[ε] ἐ[ν]*
*[λό]γωι μήτ[ε] ἐ[ν]*
*[ἔργ]ω[ι].*

## Gager #83

IG III App. 98     Att. — Patissia 4th/3rd BCE

*Εὐρυπτόλεμος Ἀγρυλῆ[θ]ε[ν·   Εὐρ]υπτ[όλ]εμον καταδῶ καὶ Ξενοφῶντα*
*Ξενοφῶν·   τὸμ μετ' Εὐρυπτολέμου καὶ γλώττας τὰς τούτων καὶ ἔπη καὶ*
*ἔργα τὰ τούτων καὶ εἴ τι βουλεύονται καὶ εἴ τι πράττουσιν ἀτελῆ*
*αὐ[το]ῖ[ς] γένοιτο· φ[ίλ]η Γῆ κάτεχε Εὐ[ρυ]πτόλεμον [κ]αὶ Ξενοφῶντα*
*καὶ ἀδυνάτους αὐτοὺς πόει καὶ ἀτελεῖς καὶ φθόην Εὐρυπτολέμωι*
*καὶ Ξενοφῶντι· φίλη Γῆ βοήθει μοι· ἀδικούμενος γὰρ ὑπὸ Εὐρυπτολέμου καὶ*
*Ξενοφῶντος καταδῶ αὐτούς.*

Gager #99

*CIL* vii 140, p. 306

1 Deuo 2 Nodenti Siluianus 3 anilum perdedit 4 demediam partem 5 donauit Nodenti 6 inter quibus nomen 7 Seniciani nollis 8 petmittas sanita 9 tem donec perfera(t) 10 usque templum [No] 11 dentis 12



Gager #117

A) SEG 29:930 Sikelia Morgantina (Serra Orlando) 1st c. BC?

*Γᾶ Ἑρμᾶ*
*Θεοὶ Κατα-*
*χθόνιοι πο-*
*τιδέξεσθε*
*τὰν Βενού-*
*σταν τοῦ*
*Ῥούφου τὰ-*
*ν θεραπαί-*
*ναν.*

B) SEG 29:931 Sikelia Morgantina (Serra Orlando) 1st c. BC?

*Γᾶ καὶ Ἑρμᾶ*
*καὶ [Θ]εο[ὶ]*
*Κ̣ατα[χ]θ̣ό̣-*
*νιοι ποτι-*
*δέκεσθ̣[ε]*
*τὰν Βεν[ο]ύ-*
*σταν τ̣[οῦ]*
*Ῥούφου τὰ-*
*ν θεραπαί-*
*ναν.*

C) SEG 29:932 Sikelia Morgantina (Serra Orlando) 1st c. BC?

*Γᾶ Ἑρμᾶ Θεοὶ*
*Κα[τ]αχθ̣όνι̣οι*
*ἀπ{α̣γ}άγετε {ἀπάγετε} τὰν Β̣ενο̣ύ[σταν]*
*τοῦ Ῥούφο[υ] . . . ιου*
{vestigia incerta}

D) SEG 29:933 Sikelia Morgantina (Serra Orlando) 1st c. BC?

*Γᾶ [Ἑ]ρμᾶ Θ[ε]οὶ Κατ̣[α]χθό-*
*νιοι ποτιδ[έ]ξεσθ̣ε [Βε]-*
*νο̣ύσ[τ]αν τὰ[ν] Σέξ[του τ]ὰν*

*θεραπ̣αίν[αν].*

## **PGM V. 304-369**

*Λαβὼν χάρτην ἱερατικὸν ἢ μολυβοῦν πέταλον καὶ σιδηροῦν κρίκον θὲς ἐπὶ τὸν χάρτην τὸν κρίκον καὶ ἔσωθεν καὶ ἔξωθεν αἶρε τύπον τοῦ κρίκου τῷ καλάμῳ, εἶτα ζμύρνισον τὴν περιφέρειαν, εἶτα γράψον εἰς τὴν περιφέρειαν τοῦ κρίκου, εἰς τὸν χάρτην ἐπιγράφων, τὸ ὄνομα, τοὺς δὲ χαρακτῆρας ἔξωθεν, εἶτα ἔσωθεν, ὃ θέλεις μὴ γενέσθαι, καὶ ὅτι ‘καταδεθήτω αὐτοῦ ἡ φρόνησις ἐπὶ τῷ μὴ ποιῆσαι τὸ δεῖνα πρᾶγμα’, εἶτα θεὶς τὸν κρίκον ἐπὶ τὴν αὐτοῦ περιφέρειαν, ἣν ἐποίησας, καὶ ἀνελόμενος τὰ ἔξω τῆς περιφερείας κατάραπτε τὸν κρίκον, ἕως κατακαλυφῇ. κεντῶν κατὰ τῶν χαρακτήρων τῷ καλάμῳ καὶ δεσμεύων λέγε· ‘καταδεσμεύω τὸν δεῖνα πρὸς τὸ δεῖνα· μὴ λαλησάτω, μὴ ἀντισπ<ασ>άτω, μὴ ἀντειπάτω, μή μοι δύναιτο ἀντιβλέψαι ἢ ἀντιλαλῆσαι, ὑποτεταγμένος δέ μοι ἤτω, ἐφ’ ὅσον οὗτος ὁ κρίκος κέχωσται. καταδεσμεύω δὲ αὐτοῦ τὸν νοῦν καὶ τὰς φρένας, τὴν ἐνθύμησιν, τὰς πράξεις, ὅπως νωχελὴς ᾖ πρὸς πάντας ἀνθρώπους.’ ἐὰν δὲ γυναῖκα· ‘ὅπως μὴ γαμήσῃ τὸν δεῖνα ἡ δεῖνα’ (κοινά). εἶτα ἀπενέγκας αὐτὸ εἰς ἀώρου μνῆμα ὄρυξον ἐπὶ δ' δακτύλους καὶ ἔνθες καὶ λέγε· ‘νεκυδαίμων, ὅστι[ς] [ποτ’ οὖν] εἶ, παραδίδωμί σοι τὸν δεῖνα, ὅπως μὴ ποιήσῃ τὸ δεῖνα πρᾶγμα.’ εἶτα χώσας ἀπέρχου.*

*κρεῖσσον δὲ ποιεῖς σελήνης μειουμένης· ἔστιν δὲ τὰ γραφόμενα εἰς τὸν κύκλον ταῦτα· ‘αροα μαθρα· Ἐρεσχιγάλχ· εδαντα· Ιαβου νη· ακη· Ἰάω· δαρυνκω· Μανιήλ, μὴ πραχθήτω τὸ δεῖνα πρᾶγμα, ἐφ’ ὅσον χρόνον κέχωσται ὁ κρίκος οὗτος.’*

*κατάδησον δεσμοῖς ποιήσας σπάρτα καὶ οὕτω κατάθου. ὁ δὲ κρίκος καὶ εἰς φρέαρ βάλλεται ἀχρημάτιστον ἢ παρὰ ἄωρον. μετὰ δὲ τοὺς χαρακτῆρας γράφε καὶ ταῦτα ὑποκάτω τοῦ κρίκου ὡς πλινθίον· ‘αρχοολ· Λαιλαμ· Σεμεσιλαμφ· αμμοφοριων· ιωαη·*

*φθουθ· εω Φρῆ, ὁ μέγιστος δαίμων, Ἰάω, Σαβαώθ, Ἀρβαθιάω, Λαιλαμ, Ὀσορνωφρι, Ἐμ Φρῆ Φρῆ, Φθᾶ χρωιω Ἰάω βαβουρη θιμαμ εν Φρῆ ρενουσι Σαβαὼθ Βαρβαθιάω θαχρα ουχεεθ Εσορνωφρι', καὶ τὸν νθ ὅλον (ἄνω), ὃν καὶ ἔσω ποιεῖς.*

*[ἡ] δὲ αὐτὴ οἰκονομία γράφεται ἐπὶ μολυβοῦ πετάλου καὶ ἐνθεὶς τὸν κρίκον περιπτύξας γύψισον. μετὰ δὲ τὸ ὑποκάτω πλινθίον καὶ τὸ Ἰαεω (λόγος) καὶ ταῦτα· 'βακαξιχυχ μενεβαϊχυχ Ἀβρασὰξ αω, κατάσχες τὸ δεῖνα πρᾶγμα.' ὡς δὲ ἐν τῷ αὐθεντικῷ εὑρέθη τὰ ὀνόματα· 'αρφοολ Λαιλαμ Σεμεσιλαμ Ἰαεω (λόγος) βακαξιχυχ Ἀβρασὰξ αω αρχωμιλακ μενεσιλαμ Ἰαεω ουω βακαξιχυχ Ἀβρασὰξ ωιι, κατάσχες τὸ δεῖνα πρᾶγμα.'*

## VII 396-404

*Φιμωτικὸν καὶ ὑποτακτικὸν γενναῖον καὶ κάτοχος. λαβὼν μόλιβον ἀπὸ ψυχροφόρου σωλῆνος ποίησον λάμναν καὶ ἐπίγραφε χαλκῷ γραφείῳ, ὡς ὑπόκειται, καὶ θὲς παρὰ ἄωρον· '⊗ Βαχυχ αалουγικι Ἐλωαί, Βαινχωωωχ· ΧΙ εὐλαμω φνουβενε ειζοχορ μοβορ φω χορβα ζαχει αναχια ΚΒ Φωρφορβα Φωρβορβα Σεμεσιλάμ, Ἀρχεντεχθα Ἀσχελιδονήλ· κατάσχε'. κοινά, ὡς ἂν βούλη.*

## VII 423-28

*Κυβεύοντα νικᾶν· 'Θερθενιθωρ· δυαγωθερε· θερθενιθωρ· συαποθερευο· κωδοχωρ, ποίησόν με κυβεύοντα νικῆσαι, κρατῶν Ἀδριήλ.' ἐν τῇ χειρὶ λέγε· 'μηδ' εἷς <ἴσ>ος ἤτω ἐμοί· ἐγὼ γάρ εἰμι Θερθενιθωρ· ηρωθωρθιν· δολοθορ, καὶ βάλλω, ὃ θέλω.' καὶ συνεχέστερον λέγε, καὶ βάλλεις. ἄλλως δὲ δεῖ σὲ λέγειν· 'μηδ' εἷς ὧδε τῶν παιζόντων μετ' ἐμοῦ ἴσος ἤτω, καὶ βάλλω, ὅσα θέλω.'*

## VII 429-58

*Κάτοχ[ος παντ]ὸς πράγματος καὶ ἐπὶ ἁρμάτων ποιῶν. ἐστὶ δὲ καὶ διάκοπος καὶ κατακλιτ[ικ]ὸν καὶ κατακοπτικὸν καὶ ἀναιρετικὸν καὶ ἀναστρεφόμενον, πρὸς <ἃ> θέλεις. ὁ δὲ λόγος λεγόμενος ὁρκίζει δαίμονας καὶ εἰσκρίνει. πλάκαν ἐς μολιβῆν ἀπὸ ψυχροφόρου τόπου ἐνχάραξον, ὃ βούλει γενέσθαι, καὶ τελέσας ἐν ἀρώμασιν φαιοῖς οἷον ζμύρνᾳ, βδέλλῃ, στύρακι καὶ ἀλοῇ καὶ θύμῳ μετὰ ἰλῦος παρὰ ποταμοῦ, ὀψὲ ἢ μέσης νυκτός, ὅπου ῥοῦς ἐστιν ἢ παραρέον βαλανείου, δήσας*

*αὐτὴν σπάρτῳ, βάλε φέρεσθαι εἰς τὸν ῥοῦν (ἢ εἰς θάλασσαν), ἵνα, ὅτε θέλεις, ἐκλύσῃς. ἐὰν δὲ θέλῃς ἀπολῦσαι, λῦσον τὸ πλάτυμ<μ>α, δίωκε τὸν λόγον ζ', καὶ ὄψει πρᾶγμα θαυμαστόν. πορεύου δὲ ἀνεπιστρεπτὶ μηδενὶ δοὺς ἀπόκρισιν, καὶ λουσάμενος καὶ βαπτισάμενος ἀνάβα παρὰ σαυτ[ὸ]ν καὶ ἡσύχασον ἀψύχοις τροφαῖς χρώμενος. γράφε δὲ χαλκῇ βελόνῃ ἀκεφάλῳ. ἔστι δὲ τὰ γραφόμενα· ‘ὁρκίζω σέ, δέσποτα Ὄσιρι, κατὰ τῶν σῶν ἁγίων ὀνομάτων· ουχιωχ: ουσεναραναθ: Οὔσιρει: Οὐσερραννουφθι· Ὀσορνουφη: Οὐσερ/ Μνευειί Οὐσερσετεμενθ: Ἀμαρα μαχι: χωμασω εμ μαϊ: σερβωνι εμερ Ἶσι· αρατωφι· εραχαξ· εσεοιωθ· αρβιωθι· αμενχουμ· μονμοντ ουζαθι· πηρ Οὐννεφερ εν ωωω, παραδίδωμί σοι, δέσποτα Ὄσιρι, καὶ παρακατατίθεμαί σοι τήνδε τὴν πρᾶξιν’. (κοινόν.) Ἐὰν δὲ κατορυκτικὸν ποιῇς, ἢ <εἰς> ποταμὸν ἢ γῆν ἢ θάλασσαν ἢ ῥοῦν ἢ θήκην ἢ εἰς φρέαρ, γράφε τὸν λόγον τὸν Ὀρφαϊκόν· ‘ασκει καὶ τασκει’ λέγων, καὶ λαβὼν μίτον μέλανα βάλε ἅμματα τξε' καὶ ἔξωθεν περίδησον, λέγων πάλιν τὸν αὐτὸν λόγον καὶ ὅτι· ‘διατήρησον τὸν κάτοχον’ ἢ κατάδεσμον, ἢ ὃ ἂν ποιῇς, καὶ οὕτως κατατίθεται. ἡ γὰρ σελήνη τὸ ὑπόγειον διοδεύουσα, ὃ ἐὰν εὕρῃ, λύει. τούτου δὲ γενομένου διαμένει ἅμα ἐπιλέγοντός σου καθ’ ἡμέραν ἐπὶ τῷ τόπῳ τούτῳ. μὴ ταχὺ με<τα>δίδου τινί· εὑρήσεις γὰρ μετὰ πολλοῦ καμάτου.*

**X 36-50**

*Ἄλλως· ὑποτακτικὸν Ἀπόλλωνος. λαβὼν λάμναν <ἢ πέταλον>* (36)
*μολιβοῦν ἀπὸ ἡμιόνων γράφε τὰ ὑποκείμενα ὀνόματα*
*καὶ βάλλε εἰς αὐτὸ γλῶσσαν βατράκου. λόγος,*
*ὅταν κατατιθῆται τὸ πέταλον σὺν τῷ βαθράκῳ*
*εἰς τὸ δεξιόν σου σανδάλιον· ‘ὡς ταῦτα τὰ ἅγια ὀνόματα* (40)
*πατεῖται, οὕτως καὶ ὁ δεῖνα (κοινόν), ὁ ἐπέχων.’*

| | | | |
|---|---|---|---|
| *Ἀβρασάξ* | *ιωχχ* (41a) | | |
| *αεηιουω* | *χυχ* | *Μιχαήλ* | *νυσευ* (42) |
| *εηιουωα* | *χυβαχυχ* | *Ῥαφαήλ* | *νυχιευ* |
| *ηιουωαε* | *βαχαχυχ* | *Γαβριήλ* | *αωχη* |
| *ιουωαεη* | *βακαξιχυχ* | *Σουριήλ* | *μεχευ* (45) |
| *ουωαεηι* | *βαζαβαχυχ* | *Ζαζιήλ* | *Ἰάω* |
| *υωαεηιο* | *βαδητοφωθ* | *Βαδακιήλ* | *Σαβαώθ* |
| *ωαεηιου* | *Βαϊνχωωωχ* | *Συλιήλ* | *Ἀδωναί* |

*Ἀβρασάξ* (48a)
*Ζ* (48b)
*ὑπόταξόν μοι* (49)
*τὸν δεῖνα. ἤδη, ἤδη, ταχύ, ταχύ.* (50)